ΟΡ. δεινὸν οἱ πολλοί, κακούργους ὅταν ἔχωσι προστάτας.
ΠΥ. ἀλλ' ὅταν χρηστοὺς λάβωσι, χρηστὰ βουλεύουσ' ἀεί.
ΟΡ. εἶεν. εἰς κοινὸν λέγειν χρή. ΠΥ. τίνος ἀναγκαίου πέρι;
ΟΡ. εἰ λέγοιμ' ἀστοῖσιν ἐλθὼν ΠΥ. ὡς ἔδρασας ἔνδικα;
ΟΡ. πατρὶ τιμωρῶν γ' ἐμαυτοῦ. ΠΥ. μὴ λάβωσί σ' ἄσμενοι.
ΟΡ. ἀλλ' ὑποπτήξας σιωπῇ κατθάνω; ΠΥ. δειλὸν τόδε.
ΟΡ. πῶς ἂν οὖν δρῴην; ΠΥ. ἔχεις τιν', ἢν μένῃς, σωτηρίαν;
ΟΡ. οὐκ ἔχω. ΠΥ. μολόντι δ' ἐλπίς ἐστι σωθῆναι κακῶν;
ΟΡ. εἰ τύχοι, γένοιτ' ἄν. ΠΥ. οὐκοῦν τοῦτο κρεῖσσον ἢ μένειν.
ΟΡ. ἀλλὰ δῆτ' ἔλθω. ΠΥ. θανὼν γοῦν ὧδε κάλλιον θανεῖ. 781
ΟΡ. εὖ λέγεις· φεύγω τὸ δειλὸν τῇδε. ΠΥ. μᾶλλον ἢ μένων. 783
ΟΡ. καὶ τὸ πρᾶγμά γ' ἔνδικόν μοι. ΠΥ. τὸ δοκεῖν εὔχου μόνον. 782
ΟΡ. καί τις ἄν γέ μ' οἰκτίσειε ΠΥ. μέγα γὰρ ηὑγένειά σου. 784
ΟΡ. θάνατον ἀσχάλλων πατρῷον. ΠΥ. πάντα ταῦτ' ἐν ὄμμασιν.
ΟΡ. ἰτέον, ὡς ἄνανδρον ἀκλεῶς κατθανεῖν. ΠΥ. αἰνῶ τάδε.
ΟΡ. ἦ λέγωμεν οὖν ἀδελφῇ ταῦτ' ἐμῇ; ΠΥ. μὴ πρὸς θεῶν.

---

773. *βουλεύωσ'* C 775. *ἔπραξας* B C 776. *γ'*] om. libri. 777. *δεινόν* F 778. *μείνῃς* C 779. *ἔστιν ἐκβῆναι κακῶν* B 781. *θανεῖν* F C 782 seq. transposuit Morellius. 782. *πρᾶγμ' ἔνδικον* ABFc *τῷ* Bc C *τό* ceteri. 783. *δεινόν* F 784. *σοι* B 786. *τὸ κατθανεῖν* AFc